**Εἰς τὴν Ἀνέσπερον Μνήμην τοῦ Ἀειμνήστου Γέροντος,**
**Πατρὸς καὶ Μητροπολίτου ἡμῶν Κυπριανοῦ**
**(† 17η Μαΐου 2013 ἐκ. ἡμ.)**

## «Εὐχαριστήρια 2023»

# Ἐγκώμια Ἑορταστικὰ

### Προσόμοια.
### Ἦχος γ΄. Μεγάλη τοῦ Σταυροῦ Σου.

Μεγάλη τῆς Ἀγάπης Σου Κύριε τὰ θαύματα! εὐχαῖς γὰρ Ἀειμνήστου ἡ Ἀδελφότης θάλλει, καὶ δοξάζει Σε νῦν τὸν Σωτῆρα εὐγνωμόνως, ὅτι Αὐτὸν ἔδειξας, Κτήτορα ἄσειστον, τῆς Μονῆς καὶ Ποιμένα.

* * *

Μεγάλη ἡ χαρὰ Σωτὴρ τῆς Μητροπόλεως· Πατρὸς γὰρ τιμωμένου τοῦ εὐεργέτου πάντων, τῶν Ἀγγέλων αἱ ταξιαρχίαι νῦν σκιρτῶσιν, ὅτι Αὐτὸς ἥναψε, πᾶσι τὸν ἔρωτα, τῆς Ἁγίας Τριάδος.

* * *

Μεγάλη δωρεὰ Παρθένε ἡ Εἰκόνα Σου, ἡμῶν τῇ Μητροπόλει ὦ Ἐγγυήτρια Μῆτερ, καὶ Αὐτῇ νῦν εὐλαβῶς προσπίπτοντες βοῶμεν· τῷ ποθητῷ Κτήτορι, δὸς ἀγαλλίασιν, ἵνα πόθῳ τιμᾷ Σε.

31.8.2023 ἐκ. ἡμ.
*† ὁ Μ.*



